**Exegetisk genomgång av evangeliet för Fjärde söndagen i Påsktiden, årg. 1**

**Johannes 16:16-22**

Μικρὸν καὶ οὐκέτι θεωρεῖτέ με, καὶ πάλιν μικρὸν καὶ ὄψεσθέ με. [17] εἶπαν οὖν ἐκ τῶν μαθητῶν αὐτοῦ πρὸς
ἀλλήλους· τί ἐστιν τοῦτο ὃ λέγει ἡμῖν· μικρὸν καὶ οὐ θεωρεῖτέ με, καὶ πάλιν μικρὸν καὶ ὄψεσθέ με; καί·
ὅτι ὑπάγω πρὸς τὸν πατέρα; [18] ἔλεγον οὖν· τί ἐστιν τοῦτο [ὃ λέγει] τὸ μικρόν; οὐκ οἴδαμεν τί λαλεῖ. [19]
Ἔγνω [ὁ] Ἰησοῦς ὅτι ἤθελον αὐτὸν ἐρωτᾶν, καὶ εἶπεν αὐτοῖς· περὶ τούτου ζητεῖτε μετ᾽ ἀλλήλων ὅτι εἶπον·
μικρὸν καὶ οὐ θεωρεῖτέ με, καὶ πάλιν μικρὸν καὶ ὄψεσθέ με; [20] ἀμὴν ἀμὴν λέγω ὑμῖν ὅτι κλαύσετε καὶ
θρηνήσετε ὑμεῖς, ὁ δὲ κόσμος χαρήσεται· ὑμεῖς λυπηθήσεσθε, ἀλλ᾽ ἡ λύπη ὑμῶν εἰς χαρὰν γενήσεται. [21] ἡ
γυνὴ ὅταν τίκτῃ λύπην ἔχει, ὅτι ἦλθεν ἡ ὥρα αὐτῆς· ὅταν δὲ γεννήσῃ τὸ παιδίον, οὐκέτι μνημονεύει τῆς
θλίψεως διὰ τὴν χαρὰν ὅτι ἐγεννήθη ἄνθρωπος εἰς τὸν κόσμον. [22] καὶ ὑμεῖς οὖν νῦν μὲν λύπην ἔχετε· πάλιν
δὲ ὄψομαι ὑμᾶς, καὶ χαρήσεται ὑμῶν ἡ καρδία, καὶ τὴν χαρὰν ὑμῶν οὐδεὶς αἴρει ἀφ᾽ ὑμῶν.

För 16:16-22 jfr särskilt med Joh kap 14 och Joh 20:20, 21, 26, 21:7.

**”En liten tid”**: dom: Hos 1:4; Jes 10:25; 26:20; Jer 51:33; Hag 2:6; frälsning: Jes 29:17.

**En födande kvinna**: Jes 13:8; 21:3; 26:17-18; 42:14; 66:7-13; Jer 4:31; 6:24; 13:21; 22:23; 30:6; 49:22-24; 50:43; Mika 4:9-10; Matt 24:8, 21, 29.

**Sorg som vänds i glädje**: Jer 31:13; Jes 61:2-3; 66:14.